# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΙΩΑΝΝΗΝ ΤΟΝ ΡΩΣΟΝ, ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ[46]

## Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ’ ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως καὶ τὸ ἑξῆς :

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Ὡς δεδεγμένος τῶν θαυμάτων τὴν χάριν, θαυματουργεῖς τοῖς εὐλαβῶς προσιοῦσι, τῇ ἱερᾷ πρεσβείᾳ σου ἑκάστοτε. Ὅθεν τοὺς προστρέχοντας, τῷ σεπτῷ σου λειψάνῳ, ῥῦσαι πάσης θλίψεως, καὶ παθῶν καὶ κινδύνων, καὶ τῶν πτασιμάτων αἴτει ἱλασμόν, ὦ Ἰωάννη, τοῖς σὲ μακαρίζουσι.

**Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

**Ὁ Ν΄ . καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς. «Χάριν νέμοις ἡμῖν Ἰωάννη. Γερασίμου».**

---

[46] ΚΟΝΤΟΓΛΟΥ ΦΩΤΙΟΥ (Ἐπιστασία), *Βίος καὶ ἀσματικὴ ἀκολουθία τοῦ ὁσίου καὶ Θεοφόρου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Νέου ὁμολογητοῦ τοῦ Ρώσου, ἐκδ. Ἱεροῦ Προσκυνήματος όσιου Ιωάννου τοῦ Ρώσου*, Προκόπιον Εὐβοίας 1974 (ἡ ἐκδ. ἀνανεοῦται κατ᾽ ἔτος μερίμνῃ τοῦ Προσκυνήματος).

**Ὠιδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.**

Χαρίτων δοχεῖον τῶν θεϊκῶν , Πάτερ δεδειγμένος, χάριν αἴτει καὶ ἱλασμόν , ἡμῖν Ἰωάννη καὶ εἰρήνην, τοῖς εὐλαβῶς προσιούσι τῇ σκέπῃ σου.

Ἀπαύστως παρέχων τὰς δωρεάς, ὡς δεδοξασμένος, Ἰωάννη παρά Θεοῦ, σωμάτων θεράπευσον τοὺς πόνους, καὶ χαρμονῆς τὰς ψυχὰς ἡμῶν πλήρωσον.

Ρυσθῆναι κινδύνων ὀδυνηρῶν, καὶ πάσης κακίας, καὶ στενώσεως χαλεπῆς, Χριστὸν ἐκδυσώπει Ἰωάννη, τοὺς τῷ σεπτῷ λειψάνῳ προσπίπτοντας.

**Θεοτοκίον.**

Ἰσχὺν οὐρανόθεν δίδου ἡμῖν, πατεῖν τοῦ δολίου, Θεοτόκε τὰς μηχανάς, καὶ βίον ἐνάρετον ἀνύειν, ὡς ἂν ζωῆς αἰωνίου μετάσχωμεν.

**Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.**

Νέον ἄστρον ἐφάνης , ταῆς ἀληθοῦς πίστεως˙ ὅθεν ταῷ φωτὶ Ἰωάννη, τῶν σῶν δεήσεων, σκότος ἀπέλασον , ἐπηρειῶν ὀλέθριων, καὶ ὑγείαν βράβευε, τοῖς σὲ γεραίρουσι.

Νοσημάτων παντοίων, καὶ συμφορῶν Ἅγιε, καὶ τῶν ἐν τῷ βίῳ σκανδάλων, ἀτρώτους φύλλατε, τοὺς κεκτημένους σε, πρὸς ταὸν Θεὸν μέγαν πρέσβυν, Ἰωάννη Ὅσιε, καὶ ἀντιλήπτορα.

Ἐξεχύθη πλουσίως, παρὰ Θεοὺ Ὅσιε, χάρις τῷ ἁγίῳ σου σκήνει˙ ὅθεν τοῖς χρήζουσι, βρύει ἑκάστοτε, τοὺς ποταμοὺς τῶν θαυμάτων, πᾶσαν κατακλύζοντας, δαιμόνων κάκωσιν.

**Θεοτοκίον.**

Μηδαμῶς Κόρη φλέξας, τὴν σὴν νηδὺν Ἄχραντε, ὅλος πῦρ ὑπάρχων ὁ Λόγος, ἐκ σοῦ σεσάρκωται˙ ὅθεν κατάφλεξον, τὴν ἐν ἐμοὶ ἁμαρτίαν, νοουμένοις ἄνθραξι, τῆς σῆς χρηστότητος.

Διάσωσον ταῖς πρὸς Θεὸν ἱκεσίαιας σου Ἰωάννη, πάσης βλάβης καὶ χαλεπῶν περιστάσεων, τοὺς τῇ θερμῇ σου προστρέχοντας προστασίᾳ.

Ἐπίβλεψον ἐν εὐμενείᾳ.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β'. Πρεσβεία Θερμή.**

Πρεσβείαν τὴν σήν, ὡς τείχος ἀπροσμάχητον, πλουτοῦντες ἀεὶ ραδίως ἐκτρεπόμεθα, τὰς καθ' ἡμῶν τοῦ δράκοντος, προσβολὰς Ἰωάννη μακάριε, καὶ γαλήνης πληρούμενοι πολλῆς, τὴν σὴν πρὸς ἡμᾶς χάριν κυρύτομεν.

**Ἦχος δ' Είσακήκοα Κύριε**

Ὀδυνῶν καὶ κακώσεων, τοὺς τῷ σῷ λειψάνῳ Πάτερ προστρέχοντας τῇ σῇ χάριτι ἀπάλλαξον, ὡς Θεοῦ θεράπων γνησιώτατος.

Ἰατρεῖον ἀδάπανον, ἡ σορὸς ὁρᾶται ἡ τοὺ λειψάνου σου˙ πᾶσαν νόσον θεραπεύει γάρ, καὶ παρέχει πᾶσι τὰ αἰτήματα.

Συμπαθῶς ἴδε Ἅγιε, τοὺς πιστῶς προσπίπτοντας τῷ λειψάνῳ σου, καὶ τὴν σὴν θερμὴν βοήθειαν, Ἰωάννη δίδου τοῖς αἰτοῦσί σε.

**Θεοτοκίον.**

Ἡ ἀφράστως κυήσασα, τὸν Δημιουργὸν ἁπάσης τῆς κτίσεως, Θεοτόκε Ἀειπαρθένε, πάσης ἡμᾶς ῥῦσαι περιστάσεως.

**Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.**

Μέγας ἀρωγός, ἐκ Θεοῦ ἡμῖν δεδώρησαι˙ διὰ τοῦτο ἐν καιρῷ τῶν πειρασμῶν, Ἰωάννη τῇ πρεσβείᾳ σου προσφεύγομεν.

Ἴασαι ἡμῶν, ἀλγηδόνας τὰς τοῦ σώματος, Ἰωάννη καὶ τὰς νόσους τῶν ψυχῶν, ἐνεργείᾳ τῆς ἐν σοὶ οἰκούσης χάριτος.

Νέκρωσον ἐχθροῦ, τὰ βουλεύματα μακάριε, καὶ μανίαν καθ' ἡμῶν τὴν χαλεπὴν, ἐν εἰρήνῃ διεξάγων τὴν ζωὴν ἡμῶν.

**Θεοτοκίον.**

Ἵνα σου Ἁγνή, τὴν λαμπρὰν μεγαλοπρέπειαν, ἐν ἡμέρᾳ μεγαλύνω καὶ νυκτὶ τῶν ὑπούλων τοῦ ἐχθροῦ παγίδων ῥῦσαί με.

**Ὠιδὴ στ'. Τὴν δέησιν ἐκχέω.**

Ὡς εἶδον, στῦλον φωτὸς οὐρανόθεν, οἱ πιστοὶ ἐν τῷ ἁγίῳ σου τάφῳ, ἐν εὐλαβείᾳ τὸ θεῖον σου σκῆνος, ἡγιασμένον σοφὲ ἀνεκόμισαν, ἐξ οὗ ἀεὶ ἁγιασμοῦ, δωρεὰς καὶ ἰάσεις καρπούμεθα.

Ἀγγέλων, συνὼν τοῖς δήμοις παμμάκαρ, πανταχοῦ τοὺς σὲ καλοῦντας προφθάνεις, καὶ βοηθείας ὀρέγεις τὴν χεῖρα, τοῖς˙ ἐν κινδύνοις τελοῦσι καὶ θλίψεσι˙ διὸ σε πάντες οἱ πιστοί, ὡς προστάτην θερμὸν μακαρίζομεν.

Ναὸν μου ἱερὸν Ἰωάννη, ὡς ἀχείματον πλουτοῦντες λιμένα, ἐν τρικυμίαις καὶ ζάλαις τοῦ βίου, τούτῳ πιστῶς καταφεύγοντες. Ὅσιε, ἐπισκοπῇ σου θαυμαστῇ, ποθουμένης γαλήνης πληροῦμεθα.

**Θεοτοκίον.**

Ναμάτων, ζωοπαρόχων Παρθένε, ἀνεδείχθης ἀνεξάντλητος κρήνη, τετοκυῖα τὸν πάντων Δεσπότην˙ διὸ μοι βλῦσον ἐλέους καὶ χάριτος, ὕδωρ τὸ θεῖον μυστικῶς, ἵνα σβέσω παθῶν μου τὴν κάμινον.

Διάσωσον ταῖς πρὸς Θεὸν ἱκεσίαιας σου Ἰωάννη, πάσης βλάβης καὶ χαλεπῶν περιστάσεων, τοὺς τῇ θερμῇ σου προστρέχοντας προστασίᾳ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον.

**Αἴτησις καὶ τὸ Κοντάκιον.**
**Ἦχος β'. Τοὶς τῶν αἱμάτων σου.**

Τὴν χαριτώνυμον κλῆσίν σου Ὅσιε, ἐπισφραγίζων τοῖς θείοις σου θαύμασι, χαρίτων τῶν θεῖων ἐνέργειαν, προσεφαπλοῖς τοῖς πιστῶς προσιοῦσι σοι˙ διὸ Ἰωάννη τιμῶμεν σε.

**Προκείμενον**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσιου αὐτοῦ.

**Στίχ.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον…

**Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς˙ Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου˙ καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ, οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει εἰμὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾿ὑμᾶς καὶ μάθετε ἀπ᾿ ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ˙ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

**Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.**

**Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.**

**Στίχ.**Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγας ἔλεός σου…

Χάριν τὴν τοῦ Πνεύματος, τῇ καθαρᾷ πολιτείᾳ, κεκτημένος Ὅσιε βοηθεῖς ἑκάστοτε τοῖς αἰτοῦσί σε, καὶ παθῶν κύματα, τῇ σῇ ἀντιλήψει, κατευνάζεις καὶ ἐν Πνεύματι, ψυχῆς καὶ σώματος, παύεις χαλεπὰ ἀρρωστήματα ˙ διὸ θερμῶς βοῶμεν σοι˙ Σκέπε Ἰωάννη καὶ φύλτατε, πάσης ἐπηρείας, καὶ λύπης τε καὶ ζάλης ἀσινεῖς, τοῦ πονηροῦ κοσμοκράτορος, τούς σε μακαρίζοντας.

Σῶσον ὁ Θεὸς τὸν λαὸν σου.

**Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ἡ ἁγία σορὸς σου, ὡς ἁγίασμα θεῖον Ἁγίου Πνεύματος, ἀπαύστως ἁγιάζει, τοὺς πίστει προσιόντας, Ἰωάννη καὶ ψάλλοντας. Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Γνόντες Πάτερ τὴν χάριν, ἥν θεόθεν ἐκτήσω οἱ πόνοις στένοντες, προσπίπτουσιν ἐν πίστει, τῇ θείᾳ ἀρωγῇ σου, καὶ ταχέος λαμβάνουσιν, ἀπαλλαγὴν τῶν δεινῶν, θεόφρον Ἰωάννη.

Ἐξεπλάγησαν σφόδρα, οἱ πικρῶς ἐπελθόντες τῷ θείῳ σκήνει σου ὡς ζῶν γὰρ τούτοις ὤφθης˙ καὶ νῦν τῇ ζωτικῇ σου, ἀντιλήψει θανάτωσον, τὴν καθ' ἡμῶν τοῦ ἐχθροῦ, μανίαν Ἰωάννη.

**Θεοτοκίον.**

Ῥάβδος ὤφθης Παρθένε, ὡς φησὶν Ἡσαΐας θεοβλαστούργητος˙ καὶ νῦν τῆς ἀοράτου ῥοπῆς σου θείᾳ ῥάβδῳ, τοῦ Βελίαρ κατάβαλε, τὰς καθ' ἡμῶν μηχανάς, Ἁγνὴ Θεοκυῆτορ.

**Ὠιδὴ η'. Τὸν Βασιλέα.**

Ἀπὸ ποικίλων, ἀσθενειῶν Ἰωάννη, ἡμᾶς φύλαττε ἀτρώτους δυσωποῦμεν, ὡς ἡμῶν προστάτης, καὶ μέγας ἀντιλήπτωρ.

Σορός σου Πάτερ, ἡ ἱερὰ ἰατρεῖον, πᾶσι πρόκειται τοῖς πίστει προσιοῦσι˙ πᾶσι ὧν αἰτοῦνται, ὡς μμιμητὴς Κυρίου.

Ἴδε θεόφρον, τοὺς εὐλαβῶς προσιόντας, τῷ λειψάνῳ σου καὶ δίδου τούτοις Πάτερ, περὶ ὧν αἰτοῦνται, ὡς μιμητὴς Κυρίου.

**Θεοτοκίον.**

Μῆτερ Κυρίου, καὶ Ἀειπάρθενε Κόρη, τaὴν ταλαίπωρον θεράπευσον ψυχῆν μου, τὴν ἀεὶ νοσοῦσαν, παθῶν ἐπικρατείᾳ.

**Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.**

Ὁ μέγας Προκοπέων, ρύστης καὶ προστάτης, καὶ τῆς Εὐβοίας ἁπάσης ἀγλάϊσμα, ρύου ἡμᾶς ἐκ πάσης θλίψεως.

Ὑψόθεν βλέψον Πάτερ, ἐπὶ τοὺς ἐν πίστει, τῷ ἱερῷ σου λειψάνῳ προστρέχοντας, καὶ τὰ αἰτήματα τούτων πλήρου ἑκάστοτε.

Ὑμνοῦντές σου τὴν χάριν, Πάτερ Ἰωάννη, τὴν σὴν ἀπαύστως αἰτοῦμεν, ἀντίληψιν, ἣν ἀεὶ δίδου τοῖς πόθῳ σε μακαρίζουσι.

**Θεοτοκίον.**

Ὑψώσασα τὸν νοῦν μου, ἐκ τῶν χαμαιζήλων, πτέρωσον τοῦτον ἀγάπῃ τῇ κρείττονι, ἵνα ὑμνῶ σε ἀπαύστως ὦ κοσμοσώτειρα.

**Τὸ Ἄξιον ἐστι καὶ τὰ μεγαλυνάρια.**

Λύχνος εὐσεβείας νεοφανής, ἐκ Καππαδοκίας, ἀνεδείχθης ὡς ἀληθῶς, Πάτερ Ἰωάννη, καὶ πάντας καταυγάζεις, θαυμάτων ταῖς ἀκτῖσιν, Ἁγίῳ Πνεύματι.

Ὅλος ἀνακείμενος τῷ Χριστῷ ἤνεγκας προθύμως, τὴν δουλείαν τὴν χαλεπήν, καὶ ἐλευθερίᾳ, ζωῆς τῆς μακαρίας, κάθεῖλες Ἰωάννη, ἐχθροῦ τὸ φρύαγμα.

Φῶς ἐν εἴδει στύλου ἀπ' οὐρανοῦ, λάμψαν τῷ σῷ τάφῳ πᾶσιν ἔδειξεν ἐμφανῶς, τὴν ἐν τῷ σεπτῷ σου, λειψάνῳ θείαν χάριν, θεόφρον Ἰωάννη, Ἀγγέλων σύσκηνε.

Ἔχαιρε τὸ πάλαι τῇ σῇ σορῷ, ἡ Καππαδοκία˙ νῦν δὲ χαίρει πνευματικῶς, τῷ ἡγιασμένῳ λειψάνῳ σου παμμάκαρ, ἡ Εὔβοια τρυφῶσα, τῶν θαυμασίων σου.

Πανταχοῦ ἐξέδραμεν ἀληθῶς, ἡ πλουσία χάρις, τῶν θαυμάτων σου τῶν πολλῶν˙ ὅθεν δίδου πᾶσι, τοῖς πίστει προσιοῦσι, τῷ θείῳ σου τεμένει, Πάτερ βοήθειαν.

Σκέπε πάσης βλάβης τε καὶ ὀργῆς, τὴν νῆσον Εὐβοίας, Ἰωάννη θαυματουργέ, καὶ τὴν εὐλογίαν, τὴν σὴν δίδου ἀπαύστως, ἁπάσῃ τῇ Ἑλλάδι., ὡς πλήρης χάριτος.

Πᾶσαι τῶν Ἀγγέλων…

**Τὸ τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς:**

**Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.**

Πάντας τοὺς προσπίπτοντας πιστῶς, Πάτερ Ἰωάννη θεόφρον, τῇ σῇ ἁγίᾳ σορῷ, ἣν Θεὸς ἐδόξασε, θαυμάτων χάρισιν, ἀσινεῖς διαφύλαττε, ἐκ πάσης ἀνάγκης, νόσων ἐκλυτρούμενος, ψυχῆς καὶ σώματος, δίδου δὲ τὴν σὴν προστασίαν, τοῖς ἐν τοῖς κινδύνοις τελοῦσιν, ὡς Θεοῦ θεράπων γνησιώτατος.

Δέσποινα πρόσδεξαι. Τὴν πᾶσαν ἐλπίδα μου.

*Δίστιχον.*

*Ἰωάννη χάριτος θείας με πλῆσον*

*Γεράσιμον σπεύδοντα τῇ ἀρωγῇ σου.*

www.tezaurliturgic.ro